Astr. 14
Astronautilia (Teil 14)

Versammlung der Raumfahrer. Der Planet der Erholung. Kyptas Schlechtigkeit und seine Verfolgung

Hauptverantwortlicher Editor: Stefan Weise

Einleitung

Der vierzehnte Gesang ist vom Thema „Urlaubsplanet“ bestimmt. Nach fünf Jahren Irrfahrt fordert die Mannschaft Erholung. Der bereits aus dem VII. Gesang bekannte Meuterer Kypta will zum Planeten „Utopos“, was Nemo leicht wegen der griechischen Etymologie („Nicht-Ort“) als Unsinn zurückweisen kann. Dennoch geht er auf den Wunsch der Besatzung ein und fliegt einen wirklich existierenden „Urlaubsplaneten“ an.

Dieses Thema ist aus mehreren Star Trek-Folgen bekannt. In den Folgen „Shore Leave“ (TOS 16; dt. „Landurlaub“) und „Once upon a Planet“ (TAS 8; dt. „Urlaub im Wunderland“) geht es jeweils um einen computergesteuerten „shore-leave planet“ in der Omikron Delta Region, der vor langer Zeit von einer außerirdischen Spezies errichtet wurde, um Raumfahrern die Möglichkeit zur Erholung zu bieten. Natürlich kommt es jedes Mal zu unerfreulichen Zwischenfällen. Ab Star Trek TNG wird dann der Planet „Risa“ zum universalen Urlaubsparadies für alle Sternenflottenangehörigen, der in vielen Folgen aufgegriffen wird.

Natürlich geht auch in der *Astronautilia* nicht alles glatt. Der am Anfang der Lächerlichkeit preisgegebene Kypta flieht am Ende in einem der Shuttles mit den Schätzen, die Nemo und seine Besatzung von den Innenbewohnern des Doppelplaneten erhalten haben (VI). Hier ist die Personenzeichnung konsequent durchgeführt. Denn Kypta hatte schon, wie bereits erwähnt, zu Anfang des VII. Gesangs die Meuterer angeführt, die eine Rückkehr zur paradiesischen Hohlwelt des Doppelplaneten gefordert hatten. Hier tritt vor allem das Motiv der Geldgier in den Vordergrund, das später nochmals im XXIII. Gesang für Probleme sorgen wird. Bei der anschließenden Verfolgungsjagd nach dem abtrünnigen Kypta fällt besonders die Erwähnung des Neutrinosterns bzw. Pulsars auf, womit Křesadlo an die neuere astronomische Forschung anknüpft.

Überlieferung

Die Editionsgrundlage bilden eine Handschrift (M [griechischer Teil] und M2 [tschechischer Teil]), ein Typoskript (T) und eine Printedition (E).

M:	Titel	Hvězdoplavba aneb Kosmická mikroodysea. Ἀστροναυτιλία ἢ ἡ Μικροοδυσσεία ἡ κοσμική.
	Autor	Jan Křesadlo (= Václav Pinkava)
	Entstehungsdatum	1993-1994
	Aufbew. Institution	Literární archiv Památníku národního písemnictví · Jan Křesadlo, Nr. 2110; Astronautilia: 127 [Autograph]
	Seitenabschnitt(e)	[A1r]–KV, Ir–XIVv, 1r–[255v]; hier: 130r–142r
M2:	Titel	Hvězdoplavba aneb Kosmická mikroodysea. Ἀστροναυτιλία ἢ ἡ Μικροοδυσσεία ἡ κοσμική.
	Autor	Jan Křesadlo (= Václav Pinkava)
	Entstehungsdatum	1993-1994
	Aufbew. Institution	Literární archiv Památníku národního písemnictví · Jan Křesadlo, Nr. 2110; Astronautilia: 129 [Autograph]
	Seitenabschnitt(e)	[A1r]–KV, Ir–XIVv, 1r–[255v]
T:	Titel	Hvězdoplavba aneb Malá kosmická odyssea. Ἀστροναυτιλία ἢ ἡ Μικροοδυσσεία ἡ κοσμική.
	Autor	Jan Křesadlo (= Václav Pinkava)
	Entstehungsdatum	1994 (?)
	Aufbew. Institution	Literární archiv Památníku národního písemnictví · Jan Křesadlo, Nr. 2110; Astronautilia: 128 [Autograph]
	Seitenabschnitt(e)	Titelblatt, Ir–XVIIv, 1–259; hier: 151–163
E:	Titel	Ποιήτου ἀδήλου: Ἀστροναυτιλία ἢ ἡ Μικροοδυσσεία ἡ κοσμική. Neznámého autora Hvězdoplavba aneb Malá kosmická odysea
	Autor	Jan Křesadlo/Ἰωάννης Πυρεῖα (= Václav Pinkava)
	Ort / Jahr	Prag · 1995

Seitenabschnitt(e)	I–XVI, 1–261; hier: 151–163

Text

1	**Ἀστροναυτιλίης ξ**	**Hvězdoplavby zpěv čtrnávtý**
2	**[Ἀστροναυτῶν ἀγορά. Ὸ τῆς ἀποψυχήσεως πλάνης.**	**(Schůze astronautů. Rekreační planeta.**
3	**Κύπτου φαυλότης καὶ δίωξις]**	**Kryptova zlotřilost a jeho pronásledování.)**
1	Πολλὰ δ’ ἐπεὶ πλέομεν γλαφυρὸν δι’ ἀπείρονα κόσμον	Mnoho zase jsme pluli tam vydutým bezbřehým kosmem
2	(Μανδὺν ζητοῦντες καὶ μῆλον κοσμοθεωροῦν),	(Mandyse hledajíce a ovci, jež sleduje vesmír)
3	πολλοὺς πλανήτας ξείνους ἐοράκαμεν ἄνδρες,	mnohé planety divné jsme spatřili také my muži,
4	θαύματα τῆς φύσεως, τάδε οὐ δύναμαι καταλέξαι,	různé přírody divy, jež nemohu povědět ani,
5	πολλοὺς κινδύνους γε πάθον καὶ ἑσθλοὶ ἑταῖροι.	mnohé jsem nebezpečí též trpěl i dobří mí druzi.
6	Πέντε διὰ χθονίους πλέομεν φῶτές γ’ ἐνιαυτοὺς	Po pět pozemských let jsme takto mužové pluli,
7	Μανδὺν ζητοῦντες καὶ μῆλον κοσμοθεωροῦν,	Mandyse hledajíce a ovci, jež sleduje vesmír,
8	ἀλλά γε οὔτις πρῆξις ἐφαίνετο ζητομένοισιν.	avšak nižádná možnost se hledačům neobjevila.
9	Ἀλλὰ δ’ ἐπεὶ ἕκτος χθονίος ἦρξεν ἐνιαυτός,	Avšak, když šestý už rok se pozemský počínat počal,
10	τῷ καὶ ἐγὼν ἀγορὴν θέμενος προσέειπον ἑταίρους·	tehdy svolal jsem schůzi a svoje oslovil druhy:
11	»Κέκλυτέ μευ μύθων περ, ἐμοὶ ἑρίηρες ἑταῖροι·	„Poslyšte nyní mou řeč, vy všichni druhové dobří;
12	Ζήτησις μήλου καὶ Μανδύος οὐ τετέλεσθαι.	hledání Mandyse s ovcí mít výsledek nebude zřejmě,
13	Ἠμῖν νῦν καιρὸς περὶ τούτων ἐστὶ θεωρεῖν	avšak nám vhodný je čas teď o tom uvažovati,
14	εἰ μὲν ζήτησιν λείπειν Γαίηνδε νέεσθαι	zda máme hledání nechat a zpět se na Zemi vrátit,
15	εἰ δ’ ἔτι νῦν μενέειν ἥμος μῆλον κεκιχῆναι.	anebo ještě tu zůstat až ovci chytíme přec jen.
16	Ἀλλὰ δέ μοι φρονέοντι διχῇ βουλὴ φάνετ’ εἶναι·	Ale mně, když na to myslím, se dvojí rada teď jeví:
17	Εἴ κεν ἄτερ μήλου νοστήσαιμεν ποτὶ Γαίην,	Kdybychom bez ovce té se na Zem vrátili sami,
18	ἀσφαλέως ἡμᾶς κόραμοι εἰργμόνδε βάλοιεν	nepochybně by vládci nás ihned do basy vrhli,
19	καὶ σάφα εἰσαιέν γε μένοι κίνδυνός τ’ ἀπειλὴ	a tak na věky zas by trvalo nebezpečenství,
20	Μαδύος ἢ μήλοιο, τό κεν κτάμεναί ὀ δύναιτο	Mandyse s ovcí ta hrozba, že by ji zabíti mohl
21	πάντα τε ὡς ὀλέσαι κόσμον καὶ κτήματα πάντα.	a celý zahubil vesmír a s ním i stvoření všechna.
22	Εἴ περ μείναιμέν γ’ ἔτι μῆλον θηρεύοντες,	Když však zůstanem tady a ovci honiti budem,
23	δείδω, μὴ ἔργον τόδε οὐ τετελεσμένον εἴη	obávám se, že nelze, by úkol splněn být mohl
24	ἁπλῶς καὶ ἀνέδην, ὅτ’ ἀπείρων κόσμος μέν ἐστι,	jednoduše a lehce, neb bezmezný věru je vesmír,
25	τῷ ἀναριθμαί ἔασι γαλαξῖαί τε καὶ ἄστρα,	a v něm nespočetné jsou galaxie a v nich hvězdy -
26	ἡέλιοι, περὶ τῶν πλανῆται καὶ ἀνάριθμοι.	slunce – a kolem nich se točí bezpočet planet.
27	Οὔδ’ ἄρα τις πρῆξις εὕρειν ζακενῷ ἕνα θῆρα	Není žádná tu možnost jak jedno najít tam zvíře,
28	μούνῃ μὲν τύχῃ· ἀποφώλιόν ἐστι νόημα.	jenom náhodou snad. To vůbec hloupý je nápad.
29	Ἀλλ’ ἄγε· εἰ οὔτις πρῆξις δόμεναι ἐνὶ Γαίῃ	Nuže, když nemáme možnost se zase na Zemi vrátit,
30	καὶ οὔτις εὕρειν μῆλον ζακενοῖο κενοῖο,	ani nemáme žádnou tu ovci v propastech najít,
31	ἄψ νοστήσαιμεν πλανήτηνδ’ ἢ μήνηνδε,	vraťme se nyní zpátky tam na planetu a ten měsíc,
32	τῇ κρυσταλλόπηκτος ἀνὴρ μάντις δ’ ἔτι κεῖται,	na kterém zmrzlý v ledu tam leží doposud prorok,
33	ὄφρ’ εἶποι ἡμῖν, που ζητεῖν φῶτά τε μῆλον	aby nám řekl, kde máme si hledat muže a ovci,
34	καὶ τὴν χρουνοφόρην ὕλην γε διάνδιχα κέρσαι,	a tu časonosnou tam látku rozetnout na dvě,
35	ὡς πρὶν μάντησεν Γρογαλὸς κρυσταλλοπέπηκτος.	jak nám již prorokoval ten Grogalos, zamrzlý v ledu,
36	Οὔδ’ ἄρα τι πλεῖόν γ’ ἔθελεν ἡμῖν ἀγορεύειν	ale pak nechtěl už víc nám o tom povědět něco,
37	ἤματι τῷ, τῷ μιν κατορύξαμεν ἀστερολάβροι.	když jsme ho vykopali tam z ledu, kosmičtí vlci.
38	Ἀλλὰ δέον νῦν ἐστι πάλιν μάντιν κατορῦξαι,	Ale nyní je třeba ho znovu vykopat z ledu,
39	εἰ μέν τι φρόνιμον πλεῖν εἶπειη Γρογαλὸς φώς.	jestli nám rozumného cos řekne Grogalos onen.
40	Οὗτος γὰρ λάσιος μάντις πυμάτη ἔτι ἔλπις	Tento chlupatý prorok je naše poslední šance

41	Μανδύος καὶ μήλοιο τόπον εὕρειν καὶ ἀφίκεσθαι.«	přijít tam, kde je Mandys a ovce a tam je i najít.“
42	Ὣς ἐφάμην, οἱ πάντες ἀκὴν ἐγένοντο σιωπῇ·	Tak jsem pravil; ti všichni umlkli, seděli tiše.
43	Τοῖσιν μύθων ἦρξεν ἀνὴρ φαῦλος καὶ ἄπιστος,	Z těch pak započal mluvit tam člověk lstivý a mrzký,
44	τὸν Κύπτην ἕταροι μὲν ἐπίκλησιν καλέοντο.	kterého druhové dobří si „Kypta“ zovali jménem;
45	Ὅς γὰρ ἅπαξ στάσιν ἦγεν ἀνήρ μοι νηῒ μελαίνῃ,	ten už jednou ved vzpouru tam proti mně na černé lodi,
46	ἀλλά ἑ κοσμοβίων ἐτάραξέ τε μῆνιν ἔθελξεν.	ale jím kosmobión pak otřásl, umírnil srdce,
47	Οὗτος νῦν ἦρξεν μαλερῶς νείκειν ἐπέεσσιν·	a ten mne nyní začal tu mocně napadat slovy:
48	»Νήπιος εἶ, Οὐδείς, ὡς ἄμμε φῶτας ἀνώγεις	„Hloupý jsi zajisté, Nemo, že nás teď vybízíš muže
49	Μανδὺν ζητέμεναι καὶ μῆλον κοσμοθεωροῦν,	dále Mandyse hledat a ovci, jež sleduje vesmír,
50	ὡς μὲν ἐπαίτελλον κόραμοι εἰν μητέρι Γαίῃ.	tak jak ti rozkázali tam vládcové na matce Zemi.
51	Ἀλλά γέ τοι τήλου ἀπονόσφι καὶ οὔτι ἴσασιν	Ale ti daleko jsou a nemohu o ničem vědět
52	οὔδε κολαζέμεναι, ἐπεὶ εἰν κόσμῳ πέρ ἐειμεν.	ani nikoho trestat, neb teď jsme v vesměrné hloubce.
53	Ἀλλ᾽ ἄγε ζήτησιν λελίποιμεν Μανδύος ἀνδρὸς	Nuže, zanechme nyní to hledání Mandyse muže,
54	ὡς ἀχρηστοτάτην· οὐ γάρ ἑ ἔλειν δυνάμεσθα.	navýsost neužitečné, neb jistě ho nemůžem chytit,
55	Ναί ῥ᾽ ἀνάριθμοι ἔασι γαλαξῖαί τε καὶ ἄστρα,	neboť nespočetné jsou galaxie a v nich hvězdy –
56	ἡέλιοι, περὶ τῶν πλανῆται καὶ ἀνάριθμοι.	slunce, a planety kolem jsou rovněž bez všeho počtu,
57	Οὔδ᾽ ἄρα τις πρῆξις εὕρειν ζακενῷ ἕνα θῆρα.	nemáme žádnou možnost tam jedno najíti zvíře.
58	Ἀλλὰ δ᾽ ἐγὼ Μανδὺν κτάμεναι ὀΐν οὔ περ ὀΐω,	Ale já nemyslím ani, že Mandys zabít chce ovci,
59	ὡς ὅγε τῇ χρεῖταί τε ποίησε τὸ μῆλον ἄκοιτιν	neboť jí potřebu má a učinil ji svou i družkou,
60	πλάνῃ μακροπόδων, ἥως ἴδμεν γε καὶ αὐτοί.	jak jsme to na planetě tam klokanů viděli sami.
61	Ἀλλ᾽ εἴ κεν κτεῖνοι μῆλον Μανδὺς πολύπικρος	Ale, i kdyby zabil tu ovci zahořklý Mandys
62	ἔκ γε μελανχόλίης, ὡς μῖσόβιός τε τύχοιτο,	ze své melancholie a život by znenýviděl si,
63	καὶ τότ᾽ ὀλήσειεν ζακενὸν καὶ απείρονα κόσμον	tehdy by zničil celý ten prázdný a bezmezný vesmír,
64	πάντες καὶ αὐτοὶ ἀπολησαίμεθα πορεῦται	všichni pak sami bychom též zhynuli, kosmičtí plavci,
65	οὔδε τι πλεῖν πειραζόμενοι οὔδ᾽ εἰδόμενοί τι.	nic bychom nevěděli a nic ani neprožívali,
66	Τοὔνεκα οὔ τινος ἄμμι μελήσει· οὔγαρ ἐοῦσιν.	proto by na ničem nám už nejsoucím nezáleželo.
67	Σχήματι δ᾽ ἀμφοτέρῳ οὔτις μελέτη περ ἔνεστιν	Ať tak anebo tak, nám žádná nevzniká péče.
68	Ἀλλ᾽ ἄγε ζήτησιν βλακικὴν νῦν αἶψα λίποιμεν,	Nuže, hledání hloupé teď rychle zanechme všecko,
69	νῆα δὲ πέμψαιμεν βάθεσιν κόσμοιο κενοῖο	loď pak pošleme dále tu do hlubin prázdného kosmu,
70	Οὔτοπον εἰς πλάνην, τῷδ᾽ ὄζοις χορδαὶ ἔασιν,	planetu na Útopos, kde bařty na větvích rostou,
71	βρῦτος ῥεῖ ποταμοῖσί τε πορνεῖ ἕκαστος ἑκάστῳ.	pivo v řekách tam teče a každý souloží s každým.
72	Τούτῳ γὰρ πλάνῃ ζῶμεν μὲν ἀκηδέα ζωὴν	Na této planetě pak si žijme bez strastí život,
73	Μανδὺν λάθοντες καὶ μῆλον κοσμοθεωροῦν.«	Mandyse zapomenuvše i ovci, jež sleduje vesmír.“
74	Ἔνθ᾽ ἄλλοι μὲν πάντες ἐπευφήμησαν ἑταῖροι	Tehdy ostatní všichni se na tom druhové shodli,
75	λάθειν ζήτησιν εὐθύνειν τ᾽ ἀστερονῆα	hledání zapomenout a hvězdnou lodici řídit
76	Οὔτοπον εἰς πλάνην, τῷδ᾽ ὄζοις χορδαὶ ἔασιν,	planetu na Útopos, kde bařty na větvích rostou,
77	βρῦτος ῥεῖ ποταμοῖσί τε πορνεῖ ἕκαστος ἑκάστῳ.	pivo v řekách tam teče a každý souloží s každým.
78	Τοῖσι δὲ κερτομέων ἔπεα πτεροέντα προσηύδων·	Těm však, posmívaje se, jsem pravil perutná slova:
79	»Νήπιοί ἐστε, φίλοι, ὡς Κύπτου πίστιν ἔχεσθε	„Hloupí jste, moji milí, že Kyptovi věříte nyní
80	τοῦ Οὐτόπου πλάνου πέρι μύθου οὐ φρονέοντες	řeči o Útopu hvězdě a při tom nevíte vůbec,
81	οὔνομα τοῦ πλάνου δεῖξαι, ὅτι μηδαμῇ ἐστι	že té planety jméno přec značí, že nikde není –“
82	~ καὶ δέτε τοῖσιν ἐγὼ τὰ νοήματα ἑρμήνευσα	a potom jsem jim já i jména vyložil význam
83	Ἀργείων γλώσσῃ μύθων – (τόδε γνῶθ᾽, ἀναγνώστα,	ze slov v Argejců řeči – (to věz teď, čtenáři milý,
84	ὡς μούνως ἰδιώματι, τῷ τόδ᾽ ἔπος νυ γέγραπται,	že tím jazykem jenom je složen tento zde epos,
85	ἀλλ᾽ ἄλλην γλώσσην ἅμμες σχόμεν ἀστροπορεῦται.)	ale že rozdílný jazyk jsme měli, my, plavcové hvězdní.)
86	Ἄσβεστος δ᾽ ἄρ᾽ ἔνωρτο γέλως ἐσθλοῖς ἑτάροισιν,	Neuhasitelný smích tu povstal dobrým mým druhům

ὡς εἶδον Κύπτην μάλα νήπιον καὶ ἀμαθήν τε.
Ὃς δ' ἐρυθαιόμενος κάτ' ἄρ' ἔζετο, τείρετο δ' αἰνῶς
ἀνδρῶν κερτομίη, κρυπτὸς δὲ κότος ἔλε θυμόν.
Κύπτην νικήσας ἄνεχον μὲν ἐγὼν ἀγορητίν·
»Κέκλυτέ μευ μύθων πάντες νῦν, ὄφρα τι εἴπω·
Μούνη δ' αἰτίη δοκέει γε πεπνυμένος εἶσαι
Κύπτης, ὡς ἄμ' ἄνωγε πεπαυσέμεναι ἀπὸ πλωτοῦ.
Πενταετεῖς πλέομεν βάθεσιν κόσμοιο κενοῖο
ἀστεροναυτῆρες, μάλα γὰρ φθίτο θυμὸς ἀγήνωρ.
Οὔδ' ἄρ' ἐγὼ νῦν φημι κακώτερον ἄλλο γένεσθαι
χάσματος ἄνερα συγχεῦαι καὶ καρτερὸν ὄντα.
Οὔδε τ' ἔπειτ' ἐπέοικε λίπειν προβάτου ζήτησιν,
ὡς τοῖς ἄρχουσίν γ' ὑποδεξάμεθ' ἄνδρες ἀγαυοί.
Οὐ γὰρ φαυλότερον τ' ἀνιηρότατόν τέ τί φημι
ἢ εἴ κεν κατέαξεν ἀνὴρ ἔπος, ὅττι δέδωκεν.
Ἀλλά γέ μοι βουλὴ φαΐνέν νυν ἀκούετε πάντες.
Πλανήτην ἐγω οἶδα καλὸν χαριέστατον εἶναι
οὐκ ἀπονόσφι ὁδοῦ, ἀλλὰ σχεδόν· τῷ κλίμα δ' αὐτῷ
ἥως εἰν Γαίῃ νήσων ἐρατῶν Καριβείων.
Θερμὸς δ' ἐστὶ ἀὴρ, ἀλλ' οὐ μάλα· ἠέλιός τε
ἀκτίνῃσι φίλῃσι τόπον θάλπει ἐρατῇσιν.
Τῷ μὲν παντοδαπαὶ μακραὶ φοίνικες ἔασιν
καρποφόροι τε καλαὶ χλωραὶ καὶ χάρμα ἴδεσθαι
λειμῶνές τ' ἐρατοὶ πολλαὶ κρῆναί τε καὶ ἄνθη.
Τῷ μὲν πλανήτῃ θερμὴ καὶ ἕνεστι θάλασσα
διαφανής, καθαρή, σαπφείρῳ χρῶμ' ἐϋκυῖα,
ἡδὺς νηχέμεναι καὶ ἐλκέμεναι ἐπὶ θινί.
Τῷ καὶ οἰωνοὶ περικαλλέες θαῦμα ἴδεσθαι,
ἔντομα σιγαλοέντα τε καὶ πολὰ θηρία ἄλλα,
ἀλλ' οὔτις αἰσχρὸς ναίει περ θὴρ ἐνὶ πλάνῃ.
Τῷ καὶ οὐσῖαι φρόνιμαί τε βροτοῖς ἐϋκυῖαι
ναίουσ' εἰν πόντῳ καὶ πρόφρονές εἰσι ὁδιτῆς.
Οὗτος μὲν πλάνης χαριέστατος ἐγγίστος τε
τῶν ὄντων πλανῶν τῷ ὃ μηδαμοῦ ἐστι ὁ πλάνης
Οὔτοπος, ὅνδ' ἡμᾶς πότι Κύπτα ἄνωγε πορεύειν.
Τῷδ' ἀναπαυσάμενοι καὶ ἀποψῦχησάμενοί τε
ἀψ εἰς πλανήτης ψυχῶν σφετερῶν δέτε μήνην
πλήσαιμεν δ' ἐρρωομένοι, ἵνα εἰρωτῶμεν
τὸν λάσιον Γρογαλὸν μάντιν κρυσταλλοπέπηκτον,
Μανδὺν ποῦ εὕρειν καὶ μῆλον κοσμοθεωροῦν.«
Ὣς ἐφάμην, οἱ πάντες ἐπευφήμησαν ἑταῖροι
ταῦτα τὰ πρηξάμεναι, ὡς τοῖς βούλησα πλοίαρχος.
Κύπτῃ φαυλοτάτῳ βουλὴ οὐκ ἤνδανε θυμῷ,
ἀλλὰ δὲ ὅν τε κότον γε καὶ αὐτῆμαρ κατάπεψεν.
Αὐτὰρ ἔγωγε κυβερνήτῃ ῥοβότῳ ἐπίτελλον
ἰθύνειν πλοῖον εἰς πλανήτην ἀναψύχης.

Kyptu když rozpoznali co hlupáka nevzdělaného.
On pak zčervenav silně, se posadil, trápil ho hrozně
mužů ostatních posměch a skrytý hněv chopil mu srdce.
Zvítěziv nad Kyptou takto jsem já zas hovořit počal:
„Poslyšte nyní mou řeč, vy všichni, co vám chci sdělit.
V jedné jediné věci se Kypta zdá rozumný býti,
když nás vyzývá totiž si pausu dát v kosmické plavbě.
Pět let se plavíme již tu propastmi prázdného kosmu
hvězdní plavci, a silně se statné nám zkrušilo srdce.
Neboť pravím, že nic snad horšího ve světě není
zkrušit i silného muže nad prázdné propasti kosmu.
Ale se nesluší též to zanechat hledání ovce,
jak jsme to slíbili kdysi těm vládcům, my, šlechetní muži,
neboť říkám, že není nic hnusnější a potupnější,
než, když poruší muž své slovo, které dal druhým.
Ale též přišla mi rada a tu teď poslyšte všichni.
Vím o planetě jedné, jež krásná je, roskošná velmi,
ne příliš od naší cesty, leč blízko, a na ní klima
takové příjemné vládne, jak ostrovů v Karibském moři.
Vzduch tam sice je teplý, však nepříliš, její slunce
paprsky přátelskými tam milou krajinu křeje.
na té rozličné rostou i tam stromy, veliké palmy
rozličné nesoucí plody a krásné na pohled, svěží,
louky tam rozkošné jsou a prameny, krásné i květy.
Též na planetě této se teplé nachází moře,
průhledné, krásné a čisté a safíru podobné barvou,
příjemné velmi v něm plavat a na pláži odpočívati.
Jsou tam překrásní ptáci, že je to i na pohled podiv,
různý zářící hmyz a jiná i zvířata četná.
Avšak žádné zlé zvíře tam nesídlí na oběžnici.
Tam též rozumná jsoucna, jež jsou i podobná lidem
žijí v jasném tom moři, a k pocestným laskavé mysli.
Takto to přerozkošná je planeta, nejblíže ze všech
existujících planet, k té planetě, jež nikde není,
Útopos, na kterou vás zde Kypta vyzýval letět.
Na té se zastávivše a oddechnuvše si na ní,
zpátky na motýlic hvězdu a onen jejich i měsíc
plujme, až posilníme se, by pak jsme se tázali na něm
Grogala chlupatého tam, proroka zmrzlého v ledu,
kde bychom Mandyse našli a ovci, jež sleduje vesmír.“
Tak jsem pravil a všichni se se mnou druhové shodli
udělat všechno tak, jak já jsem, kapitán, radil.
Kyptovi prachmizernému se rada nezdála v srdci,
avšak nyní svůj hněv byl ještě pro dnešek strávil.
Avšak kormidelníku jsem robotu vydal teď rozkaz
aby lodici řídil k té planetě na rekreaci.

Εἰν ὀλίγῳ πλάνης ἐρατεινὸς ἔδυ ἐνὶ βάθει.
Εἴσατο ὡς ἀστὴρ γλαυκὸς λαμπρός τε φαενός,
ὕστερον εἰς σφαῖραν μέτα βάλλετο μόρφησεν τε,
ὕστατον αὖτε χαμαὶ πέσομεν σὺν νηῖ μελαίνῃ
πλάνην θαυμάζοντες, ἐπεὶ ἐρατεινὸς ἔεσκεν
θερμὸς καὶ πρόφρων χαριέστατος ὡς παράδεισος
σχήματι τῷ, τῷ ἐγὼ κάτ' ἐμοῖς ἑτάροισιν ἔλεξα,
ἀλλά γ' ὕπαρ ἦεν πολὺ φέρτερον εἰσοράασθαι.
Ἡμεῖς ἐρχόμενοί ἑ τεθήπαμεν τερπόμενοι κῆρ,
αἶψα δὲ καὶ ἔταροι πρὸς καρποὺς χεῖρας ἴαλλον,
τοὶ μὲν ἔφυν θάμνοις ἰδὲ καὶ δένδροις πολέεσσιν
πολλοὶ καὶ γλυκεροὶ γεῦσαι, κύρμνον πολύηδυ.
Οὔδ' ἔτι κίνδυνός τις ἔεσκεν φαρμακίων τοι,
ὡς καὶ ἐγὼ σάφα οἶδα, ἐπεὶ πρόφρων τύχε πλάνης.
Πολλοὶ δ' οἰωνοὶ καὶ ἔντομα σιγαλοέντα
ἄμφι ποταόμενοι γλυκερῇς φωνῇσιν ἔασον
θαῦμα τεθηπέμεναι ἰδὲ καὶ φωνῶν τοι ἀκούειν.
Θηρία μὲν ἦσαν πλάνῃ καλὰ καὶ ἐρατεινὰ
δορκάσι ἦδ' ἐλάφοισι ἐοικότα χάρμα ἴδεσθαι
καλά τε ποικιλόμορφ' ἕτερος κέρασιν ἀραρόντα
ἥμερα· οὔδ' ἔτι τοῖς χθονίων ἔσκεν φόβος ἀνδρῶν,
οὔτινα τῶν γνώμην μὲν ἔχον καὶ οὐ μεμάθοντο,
ἀλλὰ μὲν ἡσυχίῃ ἦλθον πρὸς ἄνδρα ἕκαστον
θῆρες καὶ ἔασάν γ' αὐτοὺς ἀπὸ τῶν καταρέξαι,
ἄρτῳ θέρβεσθαι, τὸν καὶ ἔχομεν κατὰ φόρβην.
Καὶ αἱ θήλειαι, ταὶ σύν σφισιν ἔμβρυα εἶχον,
ἄμμ' ἔασάν σφε ἀμελγέμεναι ἰδὲ θηλάζεσθαι
οὐθάτοφιν· μάλα γὰρ μαλακαὶ αἱ θῆρες ἔεσκον.
Ἔνθα τινὲς φῶτές γ' ἔθελον φιλότητι μιγῆναι
ἀλλοδαποῖς κεμάσιν· ὡς καὶ ἀπονόσφι γυναικῶν
δηθ' ἦσαν μοναχοί, κρατερὴ δ' ἐπικείσατ' ἀνάγκη.
Ἀλλὰ δ' ἐγὼ σφε πεπαυσέμεναι κρατερῶς ἐπίτελλον
κερτόμεοις ἔπεσιν· τοὺς αἰσχυνὴ ἔλε θυμόν.
Αὐτὰρ ἔπειτα φίλους μεῖναί τι ἄνωγον ἑταίρους,
βῆν ἴμεναι κατὰ θῖνα πολυφλοίσβοιο θαλάσσης
αὐλὸν χερσὶν ἔχων, τὸν σαξώφωνα καλοῦσιν,
ἦρξα μὲν αὐλέμεναι· οἱ θαυμάζοντες ἔποντο
(οἶδα περὶ πλάνου ἐκ κομπουτῆρος ἀγαυνοῦ
μνημοσύνης, τὴν καὶ »ΔΑΤΑΒΑΓΚ« κλῆσιν καλέουσι)·
Αὐτίκα δ' ἐκ πόντου ἦρξαν φύσεες ἀναδῦναι
θηλείης Τριτόνεσσί τε νύμφῃσιν ἐϋκυῖαι
τῆς ἁλίης, περὶ τῶν μῦθοί γε παλαιοὶ ἔασιν.
Ταὶ μὲν ἄνω ἦσαν θήλειαι ὥστε γυναῖκες,
ἀλλὰ κάτω δ' εἶχον οὐρὰς ὡς ἰχθύες αὐταί.
Ταὶ μὲν ἐν ἀβάθει κοῦραι ἁλὸς ἀθροόωντο
αὐλῷ ἀκούουσαι, τὸν σαξώφωνα καλοῦσιν,

V nedlouhém plavení čase se zjevila planeta v hloubi,
byla jak modravá hvězda a svítila zářivě do tmy
později proměnila se a přešla do tvaru koule
ještě později pak jsme s lodicí přistáli černou,
planetě divili jsme se, neb byla příjemná velmi,
teplá a přívětivá a rozkošná na způsob ráje,
na způsob ten, jak jsem jí druhům vylíčil předtím,
ale ve skutečnosti se zdála mnohem i lepší.
My pak, chodíce po ní, jsme zírali s radostným srdcem,
brzy i začali druzi tam k ovoci vzpínati ruce,
které na větvích rostlo a kolem na rozličných stromech,
v hojném počtu a sladké i chuti, příjemná strava.
Ani nebezpečí tu žádné nebylo jedů,
jak jsem též jistě věděl, neb příznivá planeta byla.
Různí rozliční ptáci a hmyzové nádherní, skvoucí
kteří lítali kolem též zpívali sladkými hlasy,
na podiv bylo to patřit a také naslouchat hlasům.
Zvířata byla tam též tak krásná, rozmilá velmi,
podobná antilopám a jelenům, příjemný pohled,
pěkná, a nejrozličnější též nesla na hlavách rohy,
krotká, neb neměla dosud strach z mužů pozemských žádný,
neměla žádnou znalost ta zvěř a zkušenost s nimi,
ale docela klidně tu přišla za každým z mužů
zvířata, také i od nich se klidně nechala hladit,
rovněž krmit se chlebem, jejž s sebou k jídlu jsme měli.
A také samice zvířat, jež s sebou mláďata měly,
od nás se nechaly dojit, i přímo mléko své píti
z vemene; velice mírná ta všechna zvířata byla.
Tu i někteří muži se chtěli v lásce tam spojit
s laněmi nepozemskými, neb velmi daleko od žen
dlouho samotní byli a silná dolehla nutnost.
Avšak já jsem jim silně hned a tímhle rozkázal přestat
vysměvačnými slovy. Těm hanba chopila mysl.
Avšak opětně já jsem druhy vyčkati vyzval,
šel jsem po břehu toho tam mnohošumného moře,
maje píšťalu v rukou, již „saxofón“ názviskem zovou
počal na něj jsem hráti – ti s údivem kráčeli za mnou.
(Věděl jsem o této hvězdě, neb počítač výborný držel
v paměti informace, což DATABANK mužové zovou.)
Ihned tu z mořských vod se počaly bytosti nořit
Tritonům jakýmsi ženským či mořským podobné nymfám
které ve vodě bydlí a o nichž staré jsou mýthy.
Ty pak nahoře byly pak normálni pozemské ženy,
ale ocasy dole zas měly tak jako ryby.
Tyto se v mělčině moře pak vodní sestouply ženy
píšťalu poslouchajíce, jež saxofón zove se jménem,

179	ὡς τοῦ μὲν φωνὴ καταπυγοσύνην ἀνόρουσεν.	neboť toho prý zvuk vždy v lidech působí vilnost.
180	Τῇσιν δ' ἀσπαστόν γ' δοάσσατο κοιμηθῆναι	Těmto se žádoucí zdálo tam v mořské mělčině ležet
181	ἀνδράσιν ἀστροπορεύτῃσιν καὶ δείκνυατ' αὐτοῖς	s muži hvězdnými plavci a jim to naznačovaly,
182	οὔδε τέ τοι Φράντου δέον ἦεν τὴν κατὰ πρῆξιν.	aniž by tlumočník Franta byl potřebí k činnosti této.
183	Ἡμεῖς εἵματα πάντα ταχῶς γυίων σκεδάσαντες	My pak veškeré šaty tu rychle setřásše z údů,
184	ἤλθομεν εἰς πόντον νύμφῃς φιλότητι μιγῆναι	v moře jsme vstoupil ihned se v lásce s nymfami spojit,
185	αἱ μὲν εἰν ἀβάθει κατεδέξαντ' ἄνδρα ἑκάστη.	a pak v mělčině mořské i muže přijala každá.
186	Οὕτως ἠῶθέν τ' εἰς ἠέλιον καταδῦντα	Takto od samé zoře až po západ jasného slunce
187	ὕδατι εἰν θερμῷ γε πεπράξαμεν ἔργα ἐρώτων	v mělčině v teplé vodě jsme konali erótů skutky
188	νύμφῃς σὺν ἀλίῃσιν, ἐπεὶ ἀπονόσφι γυναικῶν	s mořskými nymfami těmi, neb velmi daleko od žen
189	δηθ' ἦμεν μοναχοί, κρατερὴ δ' ἐπικείσατ' ἀνάγκη.	dlouho jsme samotní byli a silná dolehla nutnost.
190	Ἀλλὰ δ' ἐπεὶ κατέδυ ἱερὸν φάος ἠελίοιο	Avšak když posvátné světlo tu za obzor zapadlo slunce
191	(ξεινιακόν, οὔ πως ὡς ἡμετέρῃ ενὶ Γαίῃ),	(podivné, zcela jiné, než máme na matce Zemi)
192	αἱ μὲν νόστησαν νύμφαι εἰς βένθεα πόντου,	tehdy se vrátily nymfy zas nazpět do hlubin moře,
193	ὕπνος δ' ἄμμε κίχησεν ἐνὶ ῥηγμῖνι θαλάσσῃς.	avšak nás pojal spánek tam přímo na mořském břehu.
194	Οὕτως ζώωμεν πλάνῃ ἀποπαύσεος ἄνδρες	Takto potom jsme žili tu na rekreační si hvězdě,
195	κάρπους φοινίκων ἄλλων δένδρων τε ἔδοντες	jedli jsme ovoce palem a jiných také tam stromů,
196	κογχάων δέ τινων μαλακὸν κρέας, τὰς μὲν ἐδείκνυν	také nějakých mušlí jsme jedli měkké i maso,
197	νύμφαι ταὶ ἄλιαι· πίνομεν γάλα τῶν ἀπὸ θήρων	které nám ukázaly ty mořské nymfy – a mléko
198	καὶ νύμφῃς ἁλίῃσι πεπρήξαμεν ἔργα ἐρώτων.	od krotkých zvířat jsme pili a nymfami milovali se.
199	Οὔδε τιν' ἐνδείην ἔχομεν φῶτες ἐνὶ πλάνῃ,	Také jsme povinnost žádnou tam neměli na oběžnici,
200	ἀλλὰ δὲ ῥηΐδιον βίοτον καὶ χάρματα πολλά.	ale snadný jen život a mnohé rozkoše různé,
201	Οὔδ' ἔτι κοσμοπορευέμεναι νῦν θυμὸς ἄνωγεν	ani na nás na hvězdné cesty tu pobídnout nechtělo srdce,
202	Μανδὺν ζητῆσαι καὶ μῆλον κοσμοθεωροῦν,	Mandyse hledati zase a ovci, jež sleduje vesmír,
203	ἀλλ' αὖτις μίμνειν βίοτον καὶ ἡδὺν ἔχεσθαι.	ale na místě zůstat a snadný míti zde život.
204	Ἀλλ' οὔκ ὡς τέτυκεν τετελεσμένον ἦν τ' ἔτι μίμνειν.	Avšak nestalo se, by navždy jsme zůstati měli.
205	Ἤματι μὲν ἔν' ἐγὼ καὶ ἐμοὶ ἐρίηρες ἑταῖροι	Jednoho totiž dne jsem já a druhové dobří
206	κείμενοι ἦμεν ἐνὶ φλοίσβου ῥηγμῖνι θαλάσσης	leželi na pobřeží tam mnohošumného moře,
207	ἰχθυοκέρκοισιν σὺν νύμφῃσιν ἁλίῃσιν	spolu s ryboocasými tam mořskými děvami také,
208	καὶ λύγ' ἀοιδομένης καὶ αὐλείων μὲν ἔγωγε	líbezně zpívajícími, a já jsem vyhrával zase
209	αὐλὸν χερσὶν ἔχων, τὸν σαξώφωνα καλοῦσιν.	maje píšťalu v rukou, jíž saxofón názviskem zovou.
210	Ἡμῖν σὺν Φράντης μεταθήτωρ ἦν ἐπὶ θινὶ	S námi tu na pobřeží byl také tlumčník Franta,
211	ῥῆμα μετάθεσθαι νυμφάων ἠὲ καὶ ἡμῶν	aby překládal nám řeč nymf a jim zase naši,
212	καί γε διὰ Φράντην περὶ νυμφάων μεμάθηκα,	a již pomocí Franty jsem o nymfách mnoho byl zvěděl,
213	ἣν διὰ αἰτίην ξείνοισιν πρόφρονες εἶην	z jaké příčiny totiž tak k cizincům laskavé byly.
214	Καὶ γὰρ νύμφῃσιν μὲν ἐνὶ βένθεσσι θαλάσσης	Neboť i k těmto nymfám, tam kdesi v hlubinách moře
215	ἄρσενα τοῦ ἰδίου γένεος φύλου δέτ' ἔασιν,	samci jsou stejného rodu a také stejného druhu,
216	ἀλλὰ μάλ' ὀγκηροὶ καὶ ῥάθῡμοί περ ὀχεύειν,	ale mohutní velmi, leč velmi leniví v lásce,
217	ὡς μὲν ἐπιχθόνιοι πολυάγριοί εἰσι λέοντες,	tak jako na Zemi jsou též velmi divocí lvové,
218	τοὺς δέτ' ὀτρυνέμεναι αἰὲν σπεύδουσι λέαιναι,	které vyburcovati se lvice musí vždy snažit.
219	τούτων ἄρσενα νυμφάων μὲν ἐοικότα ἦσαν.	Těmto mužové nymf těch vodních podobni byli.
220	Ἀλλ' εἴ κεν ἄρσην τις οτρύνετο καὶ ἐπίβησεν,	avšak když některý muž se vyburcoval a i vystoup,
221	ῥηΐδιως νύμφη τεύξειεν αἰπὺν ὄλεθρον	snadno mohl té nymfě připravit příkrou i zkázu,
222	πάντοθεν ὄμβριμοί εἰσιν ἐνὶ κώλοισι ἅπασι.	neboť celkově byli též obrovští na všechněch údech.
223	Τοὔνεκα τοὺς ξείνους νύμφαι ἄλιαι προτιμῶσιν.	Z toho důvodu také jsou k cizincům laskavé nymfy.
224	Ὣ ἡμεῖς ἐπὶ θινὶ κακείμενοι ἦμεν ἑταῖροι.	Takto na břehu moře jsme leželi, druhové dobří.

225	Αὐτίκα βρόντος ἔπωρσε βαρύς, τετάραξε δ' ἀήρα,	Náhle se hřmivý zvuk ozval a celým otřásl vzduchem,
226	αἱ νύμφαι φοβεραὶ κατέδυν εἰς βένθεα πόντου.	nymfy tu, uleknuvše se, se vnořily v hlubiny mořské.
227	Αὐτὰρ δ' ὄρθωσας τάχ' ἐγὼ περίβλεψα ἅπαντα	Já však, rychle se vzpřímiv, jsem kolem přehlížel všechno
228	θῖνά τε καὶ πόντον καὶ οὐρανὸν εὐρὺν ὕπερθεν	břehy a hladinu moře a také nahoře nebe,
229	ζητοῦν τῆς βροντῆς κρουνὸν κονάβου τε καὶ ἀρχήν.	hledaje hřímání zdroj a toho rámusu původ.
230	Ἐξαπίνης κύμβην εἶδον κόσμου γλαφυροῖο,	Náhle však spatřil jsem člun pro plavbu prostorem kosmu
231	μικρὴν τὴν ἔχομεν πηκτὴν σὺν νηῒ μελαίνῃ	malý, který jsme měli tam připevněn k lodici černé,
232	μίην ἕκ γε δυοῖν πτάσθαι εἰν αἰθέρι δίῳ.	jeden, jejž měli jsme ze dvou, tam na jasné obloze letět.
233	Πύραυλος δέτε οἱ φλογυρὸν κέρκον παράθηκεν,	Raketný pohon ho totiž byl ohnivým vybavil chvostem,
234	αἶψα μάλα πταμένη ἀφανίζετο ὅττι τάχιστα,	rychle nahoru letěl a hbitě zmizel nám z očí.
235	τὴν εἰδὼς ἰαχῇ ὦτρυνον πάντας ἑταίρους.	Vida ten člun, jsem křikem hned všechny zburcoval druhy.
236	Ἂψ εἰς νῆα θοὴν τρέχομεν γυμνοί περ ἐόντες	Ihned jsme do rychlé lodi tu běželi, ačkoliv nazí,
237	καὶ ἔνδον δ' ηὗρον τάδε κτήσια πολλὰ καὶ ἐσθλά	avšak uvnitř jsme našli, že všechny poklady skvostné,
238	(οἷα μὲν ἄμμι δέδωκεν ἀνὴρ βασιλεὺς ἐνὶ πλάνῃ	(které nám kdysi dal král lidí v planetě duté
239	τῷ κοίλῳ πολέμου ἕνεκεν σκυλάκων γαλέων τε)	kvůli pomoci proti těch psů a kocourů válce),
240	οὐ πλεῖν νῦν ἔμεναι εἰν νηῒ τ' ἄφαντα γένεσθαι.	více nebyly v lodi a prostě zmizely všechny.
241	Σὺν τοῖσιν μὲν ἄφαντοι ἔβαν Κύπτης δέτε κύμβη	S nimi pak zmizel také náš Kypta a jeden člunek.
242	~ βελτίον οἵ γ' εἶη κλέψαι εὐεργέα νῆα,	Lepší by pro něho bylo si ukrást lodici dobrou
243	ἀλλά γε τὴν χαλεπὸν καὶ τρηχὺ τοί ἐστι κυβερνᾶν	ale to bylo by pro něj moc obtížné tuto loď řídit,
244	οὔδ' αὖ Κύπτα νόησε κυβερνᾶν νῆα μέλαιναν ~	neboť neuměl Kypta tu černou lodici řídit. -
245	Ἄσβεστος γὰρ ἔνωρτο χόλος θρασυμοῖς ἐτάροισιν,	Neuhasitelný hněv tu vznikl statečným druhům,
246	ὡς εἶδον πλοῦτόν γ' ἀφανισάμενον κατὰ νῆα,	když bohatství zřeli, že zmizelo z dobré jim lodi.
247	αὐτὰρ ἐγὼν αὐτὸς δ' ἀταραχθεὶς κλέψεος ἦα	Avšak já neotřesen jsem zůstal zlodějstvím tímto
248	(χρυσοῦ δ' οὐ τιμῶ, ὅτι τοι κυνικὸς σοφός εἰμι)	(zlata si nevážím nic, jsem filosof kynický totiž,)
249	οἵδ' ἄλλοι ἔταροι κλαίοντ' ὡς νήπια τέκνα	avšak ostatní druzi jak malé plakali děti,
250	χαίτας ὀξὺ τίλον, κροῦον μαλερώς σφισι κρᾶτα	vlasy ostře si rvali a mocně se do hlavy tloukli
251	– οὕτως μὲν πλοῦτός γ' ἀποφώλιον ἄνδρα τίθησι –.	– takto bohatství činí i z mužů rozumných blázny. –
252	Ἄλλα δ' ἐγὼν ἑτάρους παῦσαι ἔπεσιν ἐπίτελλον	Avšak já přikázal druhům by s tímto přestali ihned,
253	καί σφας ὦτρυνον Κύπτην τῇ νηῒ διώκειν	a jsem je také vyzval hned s lodí honiti Kyptu,
254	οὐ χρυσοῦ ἕνεκεν – ἕνεκεν κύμβης ζακενοῖο	ne kvůli mrzkému zlatu, však kvůli našemu člunu,
255	(τὴν μὲν καὶ σκάφος ἤ βᾶριν κλῆσιν καλέουσι)	(který též nazývají buď skifem anebo bárkou)
256	καὶ φόρβης γε πυρηνιακῆς, ἦδ' ἔνδον ἔεσκεν.	pro jaderný také pohon, jejž Kypta ve člunu nesl.
257	Αὐτίκα οἱ ἕταροί μοι ἠσύχιοι ἐγένοντο,	Ihned druhové dobří se ve své sklidnili mysli,
258	ἦρξαν μὲν πλοῖον Κύπτου διὰ χάσμα διώκειν.	počali plavidlo Kypty tam skrze propasti honit.
259	Αὐτίκα πύραυλος ἔλασεν καλεργέα νῆα,	Ihned raketný pohon tu pohnal lodici dobrou,
260	ἑπτάμεθ' εἰς κόσμον ξεῖνον πλάνην λελιπόντες.	vzhůru jsme ve vesmír vzlétli a nechali planetu cizí.
261	Ἔνθεν μὲν πλέομεν βάθεσιν κόσμοιο κενοῖο	Odtud poté jsme pluli dál propastmi prázdného kosmu
262	κύμβην καὶ Κύπτην τε διωκέμεναι διὰ χάσμα.	Kyptu a jeho člun tam honit v hlubinách jeho.
263	Οὔδ' ἔτι πλεῖν κύμβην λεύσεσθαι νῦν δυνάμεσθα,	Aniž jsme více ten člun už vidět očima mohli,
264	ὡς δὲ πολὺ πρότερον φεύγεσκεν ἀνὴρ πολύμητις,	neboť o mnoho napřed nám prchl lstivý ten člověk,
265	ἀλλά ἕ γ' αἰσθητῆρες ἐνὶ πλοίῳ εὗρηκαν	ale ho sensory naše tam v lodi nalezly přece
266	ῥίμφα μάλα πταμένην βάθεσιν κόσμοιο κενοῖο.	rychle jak před námi letí tam propastmi prázdného kosmu.
267	Τόνδε διωκέμεναι νῦν ἤρξαμεν ἀχνύμενοι κῆρ	Toho jsme honiti tedy hned počali, se vzdechy v srdci,
268	πολλὰ δ' ἀρηόμενοι, μάλα γὰρ χόλος εἶλε ἅπαντας	hlasitě nadávajíce, neb silný hněv pojal všechny,
269	ἄνδρας καὶ ῥοβότους ζοώπλαστον δέτε Φράνταν.	muže i androidy a Frantu z živoucí tkáně.
270	Ἐννῆμαρ χθόνιον πλέομεν κόσμου διὰ χάσμα,	Devět pozemských dní jsme pluli propastí kosmu,

271	ἀλλ᾽ οὔτις λῆψις μὲν ἔφαινε διωκομένοισιν·	ale chycení možnost se honícím neobjevila.
272	μικρὸν μὲν σκάφος ἦν παύρων τ᾽ ἀνδῶν ἐπιβῆναι,	Malý byl kosmický skif a pro nečetné jenom muže,
273	ἀλλὰ δὲ ῥηΐδιον ἰδὲ καὶ ταχὺ κοσμοπορεύειν.	ale snadno se řídil a rychle plavil se kosmem.
274	Ἀλλὰ δ᾽ ἐπεὶ δέκατόν γε φάνη χθονίον νέον ἦμαρ	Ale když desátý již se nový den pozemský zjevil,
275	κύμβην φευγομένην μὲν ἐλεύσομεν τηλεορώσει	utíkající člun jsme spatřili na televisi
276	ὀρθῶς ὀφθαλμοῖσι, τὸ γὰρ μέγα χάρμα τέτυκτο.	přímo očima svýma, to bylo nám radostí velkou.
277	Αὐτίκα πυραύλου αὐξάνειν ἶν᾽ ἐπίτελλον	Ihned tu rozkázal jsem svých raket znásobit sílu
278	ἄνδρας καὶ ῥοβότους· ἦδ᾽ ἔπτατο Τόλμα μάλ᾽ αἶψα.	mužům a androidům, a rychle letěla Tolma.
279	Ἦως οἰωνὸς κίρκος στρουθόν γε διώκει	Tak jako jestřáb, ten pták, když vrabce před sebou žene,
280	ῥίμφα μάλα πτάμενος χήλας ἂς πρόσθεν ὀρεγνύς,	rychle velice letí své dopředu natáhnuv spáry
281	ὡς καὶ Τόλμα φέρεν ταχέως ἡμᾶς ῥοβότου τε	tak také nesla nás Tolma, jak muže tak roboty všechny,
282	ῥίμφα μάλα πταμένη Κύπτην μεμαυῖα λάβεσθαι,	velice rychle se ženouc a Kyptu hodlala zajmout.
283	ἀλλ᾽ οὔκ ὡς πρῆξις φάνε λήψεος ἀστροπορεύτῃς,	Ale nižádná možnost se chytit ho nestala plavcům,
284	ὡς Κύπτης γε διωκόμενος σοφὸς ἔσκε πορεύειν.	neboť honěný Kypta byl rychlý v kosmické plavbě,
285	Πάμπολλας μήτεις δὲ ὕφηνεν φευγέμεν ἡμᾶς.	všemožné spřádal nám lsti, jen aby nám uniknout mohl.
286	Τί πρῶτον, τί δ᾽ ἔπειτα, τί δ᾽ ὑστάτιον καταλέξω	Co dřív, a co zas potom, co naposled povědět měl bych
287	τοῦ Κύπτου περὶ μηχανίης τε νόου πολυπύκνου,	o Kypty taktikách různých a jeho složité mysli?
288	ὡς ὅγε δ᾽ εἰς ἄστρας βαρέας ἅμμ᾽ ἦγε ὁδοῖο	Jak nás k přetěžkým hvězdám tam cestou prchaje vedl,
289	ἦδε τότ᾽ ἔκκλισεν νηὸς δρόμον ἷς βαρύτητος,	takže nám zakřivovala běh lodi gravity síla,
290	ἀλλ᾽ ὡς ὄρθωσάν γε κυβερνῆται δρόμον αὖτις;	avšak když kormidelníci chod lodi srovnali zase,
291	Κύπτα δ᾽ ἔπειτα φύγεν ἐκ κύκλου τηλεορώσει	Kypta už opět prchl nám z orbitu televisního,
292	καὶ δέτε μιν δέομεν ζητεῖν ενὶ χάσματι κόσμου	že jsme ho museli hedat zas znovu v propastech kosmu
293	τηλαισθητήρεσσι· τὸ γὰρ μάλ᾽ ἀλέξατο Κύπτην.	sensory dálkovými. To velmi mu na pomoc bylo.
294	Εἰς τέλος Κύπτα σοφὸς κύμβην ποτὶ ἄστρα ἴθυνεν,	Nakonec chytrý Kypta si člun svůj kosmický řídil
295	τὸν μὲν νευτρόνιόν τοι ἐπίκλησιν καλέουσι	k jedné takové hvězdě, jíž neutronovou zovou
296	ἀστρονόμοι καινοί· μάλα γὰρ βαρὺ σώμά πέρ ἐστι	noví astronomové: To těleso velmi je těžké
297	οὐρανίον πυκινῶς ἔνδον τεθλίμμαται ὕλη,	nebeské, ⟨...⟩,
298	ὡς ὅτι μὲν κυβικὸν ἑκατοστόμετροντῆς ὕλης	neboť jeden jen kubický centimetr
299	ἕλξε βάρος τόννων δεκάκις γ᾽ ἑκατομμυριώνων	jeho hmoty má váhu tun bilión; ale že velmi
300	καὶ δέτε συνθλίψους ἕνεκεν μικρὸς μάλα ἐστίν,	stlačena hmota je jeho, je pouze velice malé,
301	ὡς σφαίρης διάμετρον ἔχειν δέκα χιλιόμετρα.	neboť má sférický průměr jen desetikilometrový.
302	Οἱ μὲν νευτρονίοι ταχέως στροφεούαται ἄστρες	Ty pak neutronové se točí střelhbitě hvězdy,
303	ἀκτῖνας δέ τινας γε ἀφιᾶσιν ῥαδιωφώνῳ	některé paprsky také tu pouští radiofónu
304	σφύζοντες· τότε τοὺς κικλήσκουσιν πούλσαρας	pulsujíce, a proto je také pulsáry zovou
305	ἄνδρες ἀστρονόμοι – ῥωμαῖον καὶ ἔπος ἐστί -	mužové astronomové; (to z latiny pochází slovo.)
306	τῶν ποτὶ πουλσάρων ἕνα Κύπτης βᾶριν ἴθυνεν	K jednomu pulsáru tomu teď Kypta zaměřil loďku,
307	ὡς αἰσθητῆρας βλάψαι εἰν νηῒ μελαίνῃ	aby nám sensory zmátl tam v naší lodici černé
308	σφύγμασιν ἀκτίνων, τὰς ἀστὴρ σφόδρα ἴησι	pulsaci paprsků, jež ta hvězda vydává prudce,
309	καὶ ὡς βήσοιται μὲν ἅφαντος ἀστροπορεύων.	a aby takto nám zmizel, jak v hvězdném prostoru letí
310	Τῷδε κυβερνήτῃ ῥοβότῳ νυν ἐγὼ ἐπίτελλον	Robotu kormidelníku jsem nyní vydal ten rozkaz,
311	Κύπτῃ δ᾽ αἶψα ἕπεσθαι, ἐπεὶ θέλε φῦναι ἄφαντος	Kyptu sledovat hbitě by zmizet nám nemohl s očí,
312	καί γε σοφὸς ῥοβότης ὀρθὴν ὁδὸν εὖ ἐλόγισεν,	a ten rozumný robot hned vypočet trajektorii,
313	ὡς μὴ μὲν βλαβερόν τι πάθῃ νῆϋς ἀστρονέουσα	aby nic škodlivého se hvězdě nestalo lodi,
314	ἀστέρι νευτρονίῳ δέ περ ἐγγὺς ἐοῦσα ὁδοῖο,	když bude neutronové té hvězdě velice blízko;
315	ὡς μαγνητικὸν μὲν ἔχει πούλσαρ πέρι ἀγρὸν	neboť magnetickým jest pulsár obklopen polem,
316	καὶ αγρὸν βαρύτητος, ἐπεὶ πυκινὴν ἔχει ὕλην.	jakož i gravitačním, neb velmi hustou má hmotu.

317	Ἀλλά γε πλοιάρχῳ μὲν ἐμοὶ οὐκ ἤνδανε θυμῷ	Ale mně, kapitánovi, se toto nezdálo v srdci,
318	κυρτὴ ἐοῦσα ὁδός· χερσὶν ὄρθωσα ἐμῇσιν	že byla zahnutá cesta a ručně jsem směr její srovnal,
319	εὐθέα νηχέμεναι· τόδε νήπιος οὐκ ἐνόησα,	abychom rovněji jeli; to, hlupák, jsem nevěděl tehdy,
320	ὡς μαγνητικῷ γ' ἀγρῷ κίνδυνος ἔνεστι	že v magnetickém tom poli je pro nás nebezpečenství
321	τῆσδε πυρηνιακῆς φόρβης εἰν νηῒ μελαίνῃ	pro ten jaderný pohon, jejž v černé lodici máme,
322	καὶ αὐτοῦ γε κινητῆρος, ὃς νῆα ἔλαυνει.	a pro samotný motor, jenž loď nám dopředu žene.
323	Τοῦτό γε καὶ ὑμῖν χαλεπόν τοι εὖ καταλέξαι,	Toto vám vysvětlovat by bylo velice těžké
324	ἀνδράσιν εἰκοστῷ αἰῶνος ἡὲ γυναιξίν,	z dvacátého jen věku tu mužům, jakož i ženám,
325	ὡς ἔτι οὐκ ἄδην γνῶσταιφυσικοῖσι νόμοισιν.	neboť neznáte ještě dost věcí z fysiky hmoty;
326	Ἀλλά γε νῆϊς ἐμὴ ἔκ γάρ γ' ἔρρωγε τάχιστα,	ale naše by loď nám byla explodovala,
327	εἴ κεν μὴ ῥόβοτός τις ανοίγνυ τζὲτ ἐπίκουρον.	kdyby z robotů jeden džet pomocný otevřel nebyl.
328	Σμερδαλέη μεγάλη ἔλασεν ἶς νῆα μέλαιναν	Strašlivá mocná síla tu pohnala lodici dobrou
329	πυρηηνιακή· ταχέως πτάτο εἰς μέγα χάσμα	jaderná; velice rychle jsme v propast se řítili kosmu,
330	πούλσαρος ἄπο οὐλομένου Κύπτου δέτε κύμβης	pryč od pulsáru zhouby a Kypty i s jeho člunem,
331	καὶ δὲ φέρεν τηλοῦ ἀπονόσφιν κοσμοπορεύτων,	a nás daleko nesla pryč od známých pro nás drah hvězdných,
332	τοὺς κομπουτῆρες εἶχόν γ' αὐτῶν ἐνὶ μνήμῃς	které i počítače tam naše v pamětech měly,
333	ἢ τοὺς ναυτῆρες ἴδμεν καὶ λάβρακες αὐτοὶ	a jež jsme, plavcové, znali, byť zkušení kosmičtí vlci,
334	ἠελίων ἰδὲ πλανήτων αὐτῶν δ' ἔπι ζώων,	slunce a planety kolem a tvory, jež žijí na nich.
335	ἀλλ' ἡμᾶς ἔφορεν κρατερὴ ἀτόμων μεγάλη ἶς	Ale nás atomná síla tam mohutná daleko hnala
336	ἄγνωτον κόσμονδε, ὅπου οὐκ οἴδαμεν οὔτι.	do neznámého kosmu, o němž jsme neměli znalost.
337	Ἡμεῖς μὲν Κύπτου κύμβης χρυσοῦ τε λάθοντες	My však zapomněli hned na Kyptu, zlato a bárku,
338	χαίτας νῦν τίλομεν, κροῦμεν δέτε κρᾶτα ἕκαστος	vlasy z hlavy jsme rvali a mocně se do hlavy tloukli,
339	καὶ βαρὺ ἀχνύμενοι δέτ' ἐπεύχεσθαι μεμάαμεν,	a též a těžkými vzdechy jsme pokoušeli se modlit,
340	εἴ κέν τις ζώῃ θεὸς εἰν κόσμοιο βάθεσσιν,	jestli by nějaký bůh snad živ byl v hlubinách kosmu,
341	ἀλλ' οὐκ ὣς τις πρῆξις ἐφαίνετο εὐχομένοισιν	leč i ta k žádná možnost se modlícím neobjevila.
342	καὶ ἀποφώλιος ὤν, ὅτ' ἀμηχανίη ἔχε θυμόν,	A já, velice hloupě, neb bezradnost držela mysl,
343	νείκεσκον ῥόβοτον, ὸ τὸ τζὲτ ἐπίκουρον ἀνοίγνυ,	edával robotu tomu, jenž pomocnou otevřel trysku,
344	ἀντὶ ἐπαινέμεναι· τόδε καὶ μάλα νήπιος ἦα.	místo, abych ho chválil. To bylo velice hloupé.
345	Ἀλλά γε τὸν Κύπτην σὺν χρυσῷ καὶ σκάφει αὐτῷ	Ale onoho Kyptu, i se zlatem a samým člunem
346	ἄστρου ἶς βαρύτητος ἐς αὐτοῦ σῶμα κατέλξεν,	hvězdy té gravitace si přitáhla nakonec k sobě,
347	ὥς γε μάλιστα ἔοικεν, ἐπεὶ ἐγγὺς πτάτο μᾶλλον.	jak se to nejspíše zdá, neb letěl velice blízko.
348	Οὕτως μὲν πλοῦτος ἀποφώλιον ἄνδρα τίθησι	Takto bohatství činí si hlupce i z moudrého muže,
349	καί οἱ ἄφειλε νόον σκευάζων αἰπὺν ὄλεθρον.	neboť rozum mu bere a příkrou připřaví zkázu.
350	Ἔνθεν μὲν πλέομεν βάθεσιν κόσμοιο κενοῖο	Odtud tedy jsme pluli tu propastmi prázdného kosmu,
351	ἄσμενοι ἐκ θανάτου ἄπο μὲν νενοημένοι αὐτοί.	těsně unikše smrti, však zcela ztraceni sami.

---

1 **Der Astronautilia vierzehnter Gesang**
2 **[Versammlung der Astronauten. Der Planet der Erholung.**
3 **Kyptas Schlechtigkeit und seine Verfolgung]**

1 Als wir viel durch den gewölbten unendlichen Kosmos fuhren
2 (auf der Suche nach Mandys und dem kosmosbetrachtenden Schaf),
3 haben wir viele fremde Planeten und Männer gesehen,
4 Wunder der Natur, die ich nicht aufzählen kann,

viele Gefahren habe ich und die guten Gefährten erlitten.
Fünf Erdenjahre hindurch segelten wir Männer
auf der Suche nach Mandys und dem kosmosbetrachtenden Schaf,
doch es erschien uns kein Gelingen bei der Suche.
Aber als das sechste Erdenjahr begann,
da machte ich eine Versammlung und sprach zu meinen Gefährten:
„Hört meine Worte, meine trauten Gefährten:
Die Suche nach dem Schaf und Mandys ist nicht beendet.
Es ist jetzt Zeit für uns darüber nachzudenken,
ob wir die Suche sein lassen und zur Erde zurückkehren
oder ob wir noch warten, bis wir das Schaf gefunden haben.
Doch, wenn ich nachdenke, scheint es mir zweierlei Rat zu geben:
Wenn wir ohne das Schaf zur Erde zurückkehren würden,
würden uns die Führer sicherlich ins Gefängnis werfen
und bestimmt würde die Gefahr und die Bedrohung für immer bleiben
von Mandys und dem Schaf, das er töten
und so den ganzen Kosmos und alle Geschöpfe vernichten könnte.
Wenn wir aber blieben und das Schaf weiter suchen würden,
fürchte ich, dass dieses Werk nicht einfach und ohne weiteres
vollendet wird, da der Kosmos unendlich ist.
In ihm sind unzählige Galaxien und Sterne,
Sonnen, um die auch unzählige Planeten kreisen.
Es besteht also keine Möglichkeit, ein einziges Tier im Weltall zu finden,
allein durch Zufall vielleicht: Der Gedanke ist nichtig.
Wohlan, wenn es keine Möglichkeit gibt, auf die Erde zurückzukehren,
und keine, das Schaf in der Leere des Raums zu finden,
dann lasst uns zu dem Planeten und dem Mond zurückkehren,
auf dem der kristallgefrorene Sehermann noch liegt,
damit er uns sagt, wo wir den Mann und das Schaf suchen
und die zeittragende Materie in zwei Teile schneiden müssen,
wie der eisgefrorene Grogaler zuvor weissagte.
Aber er wollte uns nicht mehr sagen
an dem Tag, als wir Sternwölfe ihn ausgruben.
Aber es ist jetzt notwendig, den Seher wieder auszugraben,
ob der grogalische Mann vielleicht noch mehr Vernünftiges sagt.
Denn dieser behaarte Seher ist noch unsere letzte Hoffnung,
Mandys' und des Schafes Aufenthaltsort zu finden und dorthin zu gelangen.“
So sprach ich, die anderen aber wurden alle still in Schweigen.
Von diesen begann die Worte der schlechte und untreue Mann,
den die Gefährten Kypta mit Namen nannten.
Denn er hatte mir einmal einen Aufstand im schwarzen Schiff angeführt,
aber der Kosmobiont hatte ihn verwirrt und seinen Groll betört.
Dieser begann nun stark (mich) mit Worten zu tadeln:
„Dumm bist du, Nemo, dass du uns Männer
Mandys und das kosmosschauende Schaf suchen heißt,
wie die Anführer auf Mutter Erde es auftrugen.

Doch sie sind weit entfernt und können nichts wissen
noch jemanden bestrafen, weil wir im Kosmos sind.
Wohlan, lasst uns die Suche nach dem Mann Mandys aufgeben,
da sie vollkommen nutzlos ist. Denn wir können ihn nicht fangen.
Ja, es gibt unzählige Galaxien und Sterne,
Sonnen, um die auch unzählige Planeten kreisen.
Und es gibt keine Möglichkeit, ein einziges Tier im Weltraum zu finden.
Doch ich meine, dass Mandys das Schaf nicht tötet,
weil er es benutzt und zu seiner Lagergenossin gemacht hat
auf dem Planeten der Großfüßler, wie wir es auch selbst gesehen haben.
Aber wenn der gar bittere Mandys das Schaf töten sollte
aus seiner Melancholie heraus, weil er das Leben hasst,
dann würde er das Weltall und den unendlichen Kosmos vernichten
und wir alle selbst wären verloren, wir Reisende,
da wir nichts mehr erfahren und wissen würden.
Deshalb wird es uns nichts mehr kümmern, da wir nicht mehr sein werden.
Bei beiden Szenarien besteht kein Grund zur Sorge.
Wohlan, lasst uns die törichte Suche jetzt sofort aufgeben
und das Schiff in die Tiefen des leeren Kosmos schicken
zum Planeten Utopos, auf dem an den Zweigen Würste sind,
Bier in den Flüssen fließt und jeder mit jedem schläft.
Denn auf diesem Planeten leben wir ein sorgenloses Leben
und vergessen Mandys und das kosmosbetrachtende Schaf dabei."
Da stimmten alle anderen Gefährten zu,
die Suche zu vergessen und das Sternschiff
zum Planeten Utopos zu lenken, auf dem an den Zweigen Würste sind,
Bier in den Flüssen fließt und jeder mit jedem schläft.
Diesen sagte ich spottend die geflügelten Worte:
„Dumm seid ihr, Freunde, dass ihr Kypta Glauben schenkt
bezüglich des Mythos vom Planeten Utopos, ohne zu bedenken,
dass der Name des Planeten zeigt, dass er nirgendwo ist."
– Und ich habe ihnen die Bedeutung der Worte
in der Sprache der Argeier übersetzt – (Erkenne dies, Leser,
dass nur dies Epos in dieser Sprache geschrieben steht,
aber wir Raumfahrer eine andere Sprache hatten).
Es erhob sich also unauslöschliches Gelächter unter den guten Gefährten,
da sie sahen, dass Kypta sehr dumm und ungelehrt war.
Dieser aber errötete und setzte sich nieder. Schrecklich peinigte ihn
der Spott der Männer und heimlicher Zorn erfasste seinen Sinn.
Nachdem ich Kypta besiegt hatte, nahm ich die Rede wieder auf:
„Hört jetzt alle meine Worte, dass ich etwas sage.
Kypta scheint in einer einzigen Beschuldigung verständig zu sein,
dass er uns von der Fahrt erholen hieß.
Fünf Jahre fahren wir in den Tiefen des leeren Kosmos,
denn sehr ist uns Raumfahrern der stolze Mut geschwunden.
Und ich behaupte, dass es nichts anderes Übleres gibt

als die gähnende Leere, um einen Mann, auch wenn er stark ist, zu entkräften.
Und daher ziemt es sich nicht, die Suche nach dem Schaf aufzugeben,
wie wir herrlichen Männer es den Herrschern versprochen haben.
Denn ich behaupte, dass es nichts Schlechteres und Lästigeres gibt,
als wenn ein Mann sein Wort bricht, das er gegeben hat.
Aber mir erschien jetzt folgender Rat, hört alle zu:
Ich weiß, dass es einen schönen, sehr angenehmen Planeten
nicht weit vom Weg gibt, sondern nahe. Der hat selbst ein Klima
wie auf der Erde das von den reizenden Karibischen Inseln.
Die Luft ist warm, doch nicht zu sehr und die Sonne
erwärmt mit ihren liebreizenden Strahlen den Ort.
Auf ihm sind allemöglichen großen Palmen,
die Früchte tragen, schön und grün sind, eine Freude anzuschauen.
Es gibt liebliche Wiesen, viele Quellen und Blumen.
Auf diesem Planeten ist auch ein warmes Meer,
durchsichtig, rein und Saphir an Farbe ähnlich,
angenehm darin zu schwimmen und am Strand zu relaxen.
Auf ihm sind wunderschöne Vögel, ein Wunder anzuschauen,
(bunt) glänzende Insekten und viele andere Tiere.
Doch kein schimpfliches Tier wohnt auf dem Planeten.
Auf ihm wohnen auch verständige Wesen, den Menschen ähnlich,
im Meer und sie sind Besuchern gegenüber freundlich.
Dies ist ein sehr angenehmer Planet und von
allen existierenden Planeten dem Planeten Utopos am nächsten, der nirgendwo ist,
wohin uns Kypta zu reisen befahl.
Dort wollen wir uns ausruhen und erholen
und dann zum Planeten der Schmetterlinge und deren Mond
fahren, damit wir gestärkt
den haarigen Grogaler, den eisgefrorenen Seher, fragen,
wo Mandys und das kosmosbetrachtende Schaf zu finden sind.“
So sprach ich und alle Gefährten stimmten zu,
dies zu tun, wie ich, der Kapitän, es ihnen riet.
Dem ganz üblen Kypta gefiel der Plan nicht im Herzen,
aber er ließ seinen Groll noch am selben Tag verkochen.
Doch ich trug dem Steuerroboter auf,
das Schiff zum Planeten der Erholung zu steuern.
In kurzer Zeit tauchte ein liebreizende Planet in der Tiefe auf.
Er schien wie ein blauer, glänzender und leuchtender Stern.
Später verwandelte er sich in eine Kugel und nahm deren Gestalt an.
Zuletzt fielen wir wieder mit unserem schwarzen Schiff auf den Boden
und bewunderten den Planeten, weil er liebreizend war,
warm und freundlich wie das angenehmste Paradies,
auf die Art, wie ich es meinen Gefährten erzählt hatte,
doch in Wirklichkeit war er noch viel besser anzuschauen.
Voll Erstaunen betraten wir ihn, im Herzen frohgemut,
und sogleich streckten auch die Gefährten ihre Hände zu den Früchten,

die an den Büschen und vielen Bäumen wuchsen,
zahlreich und angenehm zu kosten: Ein höchst angenehme Beute.
Und es gab keinerlei Gefahr durch Gifte mehr,
wie ich auch bestimmt wusste, weil der Planet freundlich war.
Viele Vögel und glänzende Insekten
flogen umher und sangen mit süßen Stimmen,
ein Wunder war es zu bestaunen und auch die Stimmen zu vernehmen.
Es gab auf dem Planeten schöne und liebreizende Tiere
Rehen und Hirschen ähnlich, eine Freude zu sehen.
Sie waren schön und von unterschiedlicher Gestalt, mit jeweils anderen Hörnern versehen
und zahm. Sie hatten auch noch keine Angst vor Menschen von der Erde.
Sie hatten keinerlei Kenntnis über sie und nichts darüber gelernt,
sondern die Tiere gingen ruhig zu jedem Mann
und ließen sich von ihnen streicheln
und mit Brot füttern, welches wir auch als Nahrung bei uns hatten.
Und die Weibchen hatten ihre Jungen bei sich
und ließen sich von uns melken und direkt aus ihren Eutern
trinken. Denn die Tiere waren sehr zahm.
Da wollten sich einige Männer in Liebe
mit den fremden Rehen vereinen, da sie fern von Frauen
lange allein lebend waren und eine starke Notwendigkeit sie quälte.
Doch ich befahl ihnen kraftvoll mit tadelnden Worten,
damit aufzuhören. Scham ergriff sie in ihrem Sinn.
Aber dann hieß ich die lieben Gefährten etwas warten.
Ich ging den Strand des lauttosenden Meeres entlang
mit einer Flöte in den Händen, die man Saxofon nennt,
und begann darauf zu spielen. Sie folgten staunend
(ich wusste über den Planeten aus dem herrlichen Computergedächtnis,
das sie auch DATENBANK mit Namen nennen).
Sofort begannen aus dem Meer Wesen aufzutauchen,
weiblichen Tritonen und Meeresnymphen ähnlich,
über die es alte Mythen gibt.
Diese waren oben wie weibliche Frauen,
aber unten hatten sie Schwänze wie Fische.
Diese Mädchen sammelten sich im seichten Teil des Meeres,
als sie die Flöte hörten, die man Saxofon nennt,
da dessen Klang schnell Wolllust auffahren lässt.
Ihnen erschien es willkommen,
mit den sternfahrenden Männern zu schlafen, und sie zeigten es ihnen.
Nich einmal Franta war für diese Tätigkeit nötig.
Wir schüttelten alle Kleidung schnell von den Gliedern
und gingen dann ins Meer, um uns mit den Nymphen in Liebe zu vereinen,
die jede einen Mann in seichter Tiefe empfingen.
So machten wir vom Morgen bis zum Sonnenuntergang
im warmen Wasser die Werke der Liebe
mit den Meeresnymphen, da wir fern von Frauen

lange allein lebend waren und eine starke Notwendigkeit uns quälte.
